σιν Δημόκριτος 70 *π α ι δ ό ς, οὐκ ἀνδρὸς τὸ ἀμέτρως ἐπιθυμεῖν* 179 *μὴ πονεῖν π α ῖ δ ε ς ἀνιέντες οὔτε γράμματ' ἂν μάθοιεν οὔτε μουσικὴν οὔτε ἀγωνίην* 228.1 *οἱ τῶν φειδωλῶν π α ῖ δ ε ς ἀμαθέες γινόμενοι ... ἀπόλλυνται* 276 *οὐ δοκεῖ μοι χρῆναι π α ῖ δ α ς κτᾶσθαι· ἐνορῶ γὰρ ἐν π α ί δ ω ν κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα* 277 *ὅτεῳ χρήμη τεά ἐστι π α ῖ δ α ποιήσασθαι, ἐκ τῶν φίλων τεύ μοι δοκεῖ ἄμεινον εἶναι. καὶ τῷ μὲν π α ῖ ς ἔσται τοιοῦτος, οἷον ἂν βούληται ... ἐνταῦθα μὲν ἔστι τὸν π α ῖ δ α λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δέῃ* 278 *ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι π α ῖ δ α ς κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης* 279 *τοῖς π α ι σ ὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χρήματα* 280 *ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς π α ῖ δ α ς καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.*

**παλαιός** (ἀντίθ. *νέος*). Παλαιὸς/ἀρχαῖος, old/ancient, 'Εμπεδοκλῆς 115.1 *ἔστιν 'Ανάγκης χρῆμα, θεῶν ψήφισμα π α λ α ι ό ν, ἀίδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις* Φιλόλαος 14 *μαρτυρέονται δὲ καὶ οἱ π α λ α ι ο ὶ θεολόγοι τε καὶ μάντιες.*

**παλάμη 1**. Παλάμη/χέρι, palm/hand, 'Εμπεδοκλῆς 75.2 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ πέπηγε, Κύπριδος ἐν π α λ ά μ η σ ι πλάδης τοιῆσδε τυχόντα* 95 *Κύπριδος ... ἐν π α λ ά μ η σ ι ν ὅτε ξὺμ πρῶτ' ἐφύοντο* **2.** Δύναμη ἀντιλήψεως/αἰσθητήριο ὄργανο, perceptiveness/sensory organ, 'Εμπεδοκλῆς 2.1 *στεινωποὶ μὲν γὰρ π α λ ά μ α ι κατὰ γυῖα κέχυνται· πολλὰ δὲ δείλ' ἔμπαια, τά τ' ἀμβλύνουσι μέριμνας.* || 'Εμπεδοκλῆς 3.9 *ἀλλ' ἄγ' ἄθρει πάσῃ π α λ ά μ ῃ, πῇ δῆλον ἕκαστον, μήτε τιν' ὄψιν ἔχων πίστει πλέον ἢ κατ' ἀκουὴν ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης, μήτε τι τῶν ἄλλων.*

**παλίνορσος.** Παλίνδρομος, going back, 'Εμπεδοκλῆς 35.1 *αὐτὰρ ἐγὼ π α λ ί ν ο ρ σ ο ς ἐλεύσομαι ἐς πόρον ὕμνων* 100.23 *αἷμα ... π α λ ί ν ο ρ σ ο ν ἀπαΐξειε μυχόνδε.*

**παλίντιτος.** 'Επανορθωτικὸς/ἰσορροποιητικός, restoring/balancing, 'Εμπεδοκλῆς 111.5 *παύσεις δ' ἀκαμάτων ἀνέμων μένος*

Ακαδημία Αθηνών / Academy of Athens